eul_wid: jre-ag

*Ἀνώνυμοι Παραδοξογράφοι* · Paradoxographer Anonymous

# On Friends

*Περὶ φίλων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

1 ΦΙΛΕΤΑΙΡΟΙ.

2 Θησεὺς καὶ Πειρίθοος. Ἀχιλλεὺς καὶ Πάτροκλος. Ἰδομενεὺς καὶ Μηριόνης. Ἀχιλλεὺς καὶ Ἀντίλοχος. Ὀρέστης καὶ Πυλάδης. Διομήδης καὶ Σθένελος. Φίντης καὶ Δάμων Συρακούσιοι, Πυθαγόρειοι, ὧν τοῦ ἑτέρου κα τακριθέντος ὑπὸ Διονυσίου ὁ ἕτερος ἠγγυήσατο ἀποθανεῖν, ἐὰν ἐκεῖνος μὴ ἔλθῃ τῇ ὡρισμένῃ ἡμέρᾳ· ὁ δὲ τὰ περὶ τὰ ἴδια διαταξάμενος ἐλθὼν τῆς ἐγγύης τὸν φίλον ἠλευθέρωσε· θαυμάσας δὲ ὁ τύραννος κἀκεῖνον ἀπέλυσε καὶ τρίτον ἑαυτὸν αὐτοῖς φίλον συνηρίθμησεν.